

26 OCTOMBRIE
EGKOMIA
SF.MARE MUCENIC
DIMITRIE DE LA TESALONIC
ATENA,1925

3. ΕΓΚΩΜΙΑ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΔΗΜΗΤΡΙΟΝ

ΠΟΙΗΜΑ ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ ΥΜΝΟΓΡΑΦΟΥ ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ

Στάσις α΄.

Ἦχος πλ. α΄. Ἡ ζωή ἐν τάφῳ.

Μακαρίζομέν σε, εὐσεβῶν οἱ χοροί,
Ἀθλοφόρε Μυροβλύτα Δημήτριε,
καί τιμῶμεν σοῦ Λειψάνων τήν σορόν.

Ἡ Θεσσαλονίκη, ἡ σή πόλις σοφέ, ὑπεδέξατο
τά θεῖα σου Λείψανα, ὥσπερ
ἄλλην κιβωτόν ἁγιασμοῦ.

Τά ἑξῆς φέρουν τήνδε ἀκροστιχίδα.
"Γερασίμου Μοναχοῦ Μικρογιαννανίτου".

Γεγηθώς ἐνθέως, ὁ λαός σου σοφέ,
ὑπαντήν τοῖς παναγίοις Λειψάνοις
σου, ὦ Δημήτριε ποιεῖται εὐλαβῶς.

Ἐπανῆκες πάλιν, τῇ σῇ πόλει σοφέ,
ἐπανόδῳ τῶν ἁγίων Λειψάνων σου,
καί ἐνέπλησας ἡμᾶς πολλῆς χαρᾶς.

Ραίνουσιν ἐν μύροις, τήν σορόν σου
σοφέ, εὐλαβῶς Θεσσαλονίκης οἱ
κάτοικοι, ἀνυμνοῦντές σε Δημήτριε φαιδρῶς.

www.tezaurliturgic.ro

Ἀνωτέραν τήρει, ἐκ σεισμῶν χαλεπῶν,
τήν σήν πόλιν Μυροβλύτα Δημήτριε,
τήν προστρέχουσαν τῇ σκεπῇ σου πιστῶς.

Σύμπας ὁ λαός σου, προπομπήν ἱεράν,
νῦν ποιεῖται τοῖς παντίμοις Λειψάνοις
σου, καί κηρύττει σου τήν χάριν τήν πολλήν.

Ἴδε τόν λαόν σου, παρεστῶτα πιστῶς,
τοῖς τιμίοις σου Λειψάνοις Δημήτριε,
καί προσδέχου τά αἰτήματα ἡμῶν.

Μύρου πάλαι ρεῖθρα ἔβλυζεν ἡ σορός,
τῶν τιμίων σου Λειψάνων Δημήτριε,
νῦν δέ χάριν ἡμῖν βρύει θεϊκήν.

Ὁ Θεσσαλονίκης, ἀντιλήπτωρ θερμός,
παρά πάντων ἀνυμνείσθω Δημήτριος,
ὁ κινδύνων ἐξαιρούμενος ἡμᾶς.

Ὑπερθεν σῆς ποίμνης, προστασίαν τήν
σήν ἀναπέτασον ὡς σκέπην Δημήτριε,
καί βοήθει τῷ λαῷ σου ἐν παντί.

Μυροβλύτα Μάρτυς, Ἀθλητῶν καλλονή,
ποῖον αἶνόν σοι προσοίσωμεν
ἄξιον; ὅτι δώδεκας ἡμῖν τήν σήν σορόν.

Ὄμβρη ὅν ὑψόθεν, τῆς εὐνοίας τῆς σῆς,
ἀντί μύρου Ἀθλητά χάριν ἄφθονον,
καί περίεπε τήν πόλιν σου ἀεί.

Νῦν Θεσσαλονίκη, ᾄσμα ᾄδει κοινόν,
τῇ ἐλεύσει τῶν ἁγίων Λειψάνων σου
Μυροβλύτα Μακεδόνων χαρμονή.

Ἅπερ πάλαι Μάρτυς, ἐκ τῆς ποίμνης τῆς
σῆς, μετεκόμισαν εἰς Δύσιν σου
Λείψαναν, νῦν ἐν πίστει ἐδεξάμεθα θερμῇ.

Χαῖρε σοι κραυγάζει, Ἀθλοφόρε
Χριστοῦ, ὁ λαός Θεσσαλονίκης
Δημήτριε, τοῖς Λειψάνοις σου ποιούμενος πομπήν.

Οὐρανόθεν Μάρτυς, ἐπί πόλιν τήν σήν,
συμπαθείας σου ἐπίβλεψον ὄμματι,
καί ἀπότρεπε ἐκ ταύτης πᾶν δεινόν.

Ὑπέρ πάντων Μάρτυς, ἐκδυσώπει Χριστόν,
τῶν τιμώντων τῶν ἁγίων
Λειψάνων σου, εἰς τήν πόλιν σου τήν μετακομιδήν.

Μύρον ὥσπερ θεῖον, πᾶσι βλῦσον ἡμῖν,
προμηθείας σου τά ῥεῖθρα Δημήτριε,
καί κατάσβεσον τήν φλόγα τῶν παθῶν.

Ἱλασμόν ἐξαίτει, Μυροβλύτα ἡμῖν, καί
κινδύνων πολυτρόπων ἐκλύτρωσιν,
τοῖς προσπίπτουσι τῇ θείᾳ σου σορῷ.

Κλέος Ἀθλοφόρων, ἐκ σεισμῶν
χαλεπῶν, Μυροβλύτα τήν σήν πόλιν
ἀντάλλαξον, τήν προστάτην κεκτημένην σε θερμόν.

www.tezaurliturgic.ro

Ρῶσιν καί ὑγείαν, καί χαράν ἀληθῆ, ἀεί
δίδου Ἀθλοφόρε Δημήτριε, τοῖς
προσπίπτουσι τῇ θείᾳ σου σορῷ.

Ἀγαλλιωμένη, ἐν τοῖς κόλποις αὐτῆς,
τά σά Λείψανα κατέχει Δημήτριε, ἡ
σή πόλις ὧν ἐστέρηται τό πρίν.

Γέγονεν αἰτία, ἀληθοῦς ἑορτῆς, ἡ
μετένεξις τῶν θείων Λειψάνων σου, ἐκ
τῆς Δύσεως τῇ πόλει σου σοφέ.

Ἰθι ἀποτρέπων, τήν σεισμοῦ ἀπειλήν,
ἐκ τῆς πόλεώς σου Μάρτυς Δημήτριε,
καί παρέχων τῷ λαῷ σου ἀγαθά.

Ἀνωτέρους τήρει, συμφορῶν Ἀθλητά,
τούς προσπίπτοντας τοῖς θείοις Λειψάνοις
σου, καί γεραίροντας τήν ἔλευσιν αὐτῶν.

Νοερῶς ὑψόθεν, τῇ σῇ ποίμνῃ σοφέ, ὡς
σκηνήν τήν προστασίαν σου ἅπλωσον,
ὡς ἄν πάσης ἐκρυώμεθα πληγῆς.

Νεκρωθείς τῇ λόγχῃ, ὡς ὁπλίτης
Χριστοῦ, προστασίας σου τῇ λόγχῃ κατάστρωσον,
τούς ἐχθρούς ἡμῶν Δημήτριε σοφέ.

Ἀπό πάσης βλάβης, καί σεισμοῦ ἐκτριβῆς
ἀσινεῖς ἡμᾶς διάσωζε Ἅγιε, τούς
προσπίπτοντας τῇ θείᾳ σου σορῷ.

Νάμασιν ἀΰλοις, τῆς πρεσβείας τῆς
σῆς, τάς ψυχάς ἡμῶν κατάρδευσον
Ἅγιε, ἀρετῶν τοῦ ἐξενέγκαι τά φυτά.

Ἴθυνον ὑψόθεν, τήν σήν ποίμνην σοφέ,
πρός νομάς σωτηριώδεις Δημήτριε,
ὡς ἄν μέτοχοι γενώμεθα ζωῆς.

Τούς τῶν σῶν Λειψάνων, τήν σεπτήν
κομιδήν, εἰς τήν πόλιν σου τιμῶντας
Δημήτριε, ῥῦσαι πάσης δυσχερείας καί πληγῆς.

Δόξα, Τριαδικόν.

Ὁ πατήρ ὁ Λόγος, καί τό Πνεῦμα ὁμοῦ,
ὁμοούσιε Τριάς ταῖς δεήσεσι,
Δημητρίου σῶσον ἅπαντας ἡμᾶς.

Καί νῦν. Θεοτοκίον.

Ὑψηλή καθέδρα, τοῦ τῶν ὅλων Θεοῦ,
Θεοτόκε Μαριάμ Μητροπάρθενε,
δίδου πᾶσι τήν βοήθειαν τήν σήν.

Στάσι β΄.
Ἦχος πλ. α΄. Ἄξιόν ἐστι.

Ἄξιόν ἐστι, μακαρίζειν σέ ᾠδαῖς καί
ὕμνοις, Μάρτυς Ἀθλοφόρες Δημήτριε,
τόν συντρίψαντα τό κράτος τοῦ ἐχθροῦ.

Ἄξιόν ἐστι, μεγαλύνειν σου σορόν τήν
θείαν, ἧς τήν κομιδήν εἰς τήν πόλιν
σου, ἑορτάζομεν Δημήτριε σοφέ.

www.tezaurliturgic.ro

Καί τά ἀκόλουθα ἔχοντα τήν ἰδίαν ἀκροστιχίδα.

Γέγονε σοφέ, ἐν τῇ πόλει σου Θεσσαλονίκῃ,
ἑορτῆς ἁγίας ὑπόθεσις, ἡ ἐπάνοδος
τῆς θείας σου σοροῦ.

Ἔχει ἐν χαρᾷ, ἤδη Μάρτυς ἡ Θεσσαλονίκη,
τά σά ὦ Δημήτριε Λείψανα,
ὧν στερήσει ἠνιᾶτο τῇ μακρᾷ.

Ῥᾶνον ἐφ' ἡμᾶς, ἀντί μύρου δρόσον
συμπαθείας, τούς ἐν ὕμνοις Μάρτυς
καί δάκρυσι, ραίνοντάς σου τῶν Λειψάνων τήν σορόν.

Ἅπαντες πιστοί, προπομπήν τοῖς σοῖς
σεπτοῖς Λειψάνοις, ἐν Θεσσαλονίκῃ
ποιούμενοι, ἀνυμνοῦμέν σε Δημήτριε σοφέ.

Σύ μου εἶ χαρά, σύ μου στήριγμα
Μεγαλομάρτυς, ἡ Θεσσαλονίκη κραυγάζει
σοι, δεχομένη σου τά Λείψανα σοφέ.

Ἵνα σοῦ πιστῶς, προσκυνοῦμεν τήν
ἁγίαν θήκην, σῶζε ἡμᾶς Μάρτυς
Δημήτριε, ἐκ σεισμοῦ καί πάσης ἄλλης συμφορᾶς.

Μέγας ἀρωγός, Θεσσαλονικέων
ἀνεδείχθης, Μάρτυς Ἀθλοφόρε Δημήτριε,
διά τοῦτο σέ τιμῶμεν εὐλαβῶς.

Ὁ περιφανής, Θεσσαλονικέων πολιοῦχος,
πάλιν τῇ πατρίδι ἐλήλυθεν,
ἐπανόδῳ τῆς σεπτῆς αὐτοῦ σοροῦ.

Ὕμνησε αὐτοῦ, τήν ἐπάνοδον Θεσσαλονίκη,
πρός αὐτόν βοῶσα Δημήτριε,
μηδαμῶς πλέον μακρύνεις ἀπ' ἐμοῦ.

Μύρου νοητοῦ, μυροθήκη Μάρτυς
ἀνεδείχθης· ὅθεν μύρον θεῖον ἀνέβλυζε,
τῶν Λειψάνων σου ἡ θήκη δαψιλῶς.

Ὅλη ἐν χαρᾷ, ἡ Θεσσαλονίκη Μάρτυς
σπεύδει, τῇ πομπῇ τῶν θείων Λειψάνων
σου, ἀνυμνοῦσά σε Δημήτριε φαιδρῶς.

Νέκρωσον σοφέ, τῶν ἐχθρῶν τήν
καθ' ἡμῶν μανίαν, καί εἰρήνην δίδου
τῇ ποίμνῃ σου, ὦ Δημήτριε ὡς ταύτης ἀρωγός.

Αἵμασι τοῖς σοῖς, καί τοῖς μύροις σου
πρίν ἠγιάσθη, ἡ Θεσσαλονίκη Δημήτριε,
νῦν δέ χαίρει τῇ ἁγίᾳ σου σορῷ.

Χάριτος πολλῆς, κατηξίωσας ἡμᾶς
παμμάκαρ, δούς ἡμῖν τά θεῖα σου
Λείψανα, ἅπερ πάλαι ἀπεμάκρυναν ἡμῶν.

Οἱ τῇ σῇ σορῷ, καταφεύγοντες ἐν
εὐλαβείᾳ, ἴασιν καρποῦνται Δημήτριε,
καί σωμάτων καί ψυχῶν θείᾳ ροπῇ.

www.tezaurliturgic.ro

Ὕμνους ἱερούς, προσκομίζομεν καθάπερ
μύρα, τῇ σορῷ σου Μάρτυς
Δημήτριε, ἵνα τύχωμεν τῆς σῆς ἐπισκοπῆς.

Μάστιγι τῆς σῆς, κραταιᾶς παμμάκαρ
προστασίας, πᾶσαν συντριβήν ἀποδίωξον,
πονηρευομένων Μάρτυς καθ' ἡμῶν.

Ἵλαθι Σωτήρ, ταῖς τοῦ Δημητρίου
ἱκεσίαις, τῇ κληρονομίᾳ σου Κύριε,
καί σεισμοῦ ἡμᾶς ἀπάλλαξον φρικτοῦ.

Κράτος κατ' ἐχθρῶν, τῇ Θεσσαλονίκῃ
δίδου Μάρτυς, πρός σέ ἀφορώσῃ
Δημήτριε, καί τιμώσῃ τήν ἁγίαν σου σορόν.

Ρώμην καί ἰσχύν, ἐν Ἁγίῳ Πνεύματι
παρέχει, ἡ σορός τῶν θείων Λειψάνων
σου, τοῖς προστρέχουσι Δημήτριε πιστῶς.

Ἄνωθεν ἡμᾶς, ἐποπτεύεις Μάρτυς
φιλευσπλάγχνως, λύων καθ' ἡμῶν
πᾶσαν κάκωσιν, καί λυτρούμενος σεισμῶν φθοροποιῶν.

Γέρας ἀληθές καί στεφάνωμα δόξης
ἁγίας, ἡ Θεσσαλονίκη σε κέκτηται·
διά τοῦτό σου τά Λείψανα τιμᾷ.

Ἴασαι ἡμῶν, τά συντρίμματα Μεγαλομάρτυς,
ἃ ἐκ τῶν παθῶν ἡμῶν ἔχομεν,
τῇ θερμῇ σου ἱκεσίᾳ πρός Χριστόν.

Ἄκουσον φωνῆς, τῶν παρακαλούντων
σε ἀπό καρδίας, Θεσσαλονικέων
Δημήτριε, καί παράσχου τά αἰτήματα ἡμῖν.

Νῦν ἀπό μακράν, ἐλήλυθασι τά Λείψανα
σου, ταύτῃ σου τῇ πόλει Δημήτριε,
καί ἐπλήρωσαν αὐτήν ἁγιασμοῦ.

Νύξ ἡ νοητή ἀθυμίας ἐκ τῆς πόλεώς
σου, διελύθη ὅτε ἐδόθησαν, πάλιν
ταύτῃ τά σά Λείψανα σοφέ.

Αὔγασον ἡμῖν, τῆς λαμπρᾶς σου πάλιν
προστασίας, τάς ἀκτίνας Μάρτυς
Δημήτριε, καί διάλυσον τήν νύκτα τῶν παθῶν.

Νάμασι τῆς σῆς, ἀντιλήψεως Μεγαλομάρτυς,
ἄρδευσον ἡμῶν τήν διάνοιαν,
τήν διψῶσαν ἐν ἐρήμῳ τῶν παθῶν.

Ἴδε συμπαθῶς, ἐπί ταύτην σου τήν
κληρουχίαν, καί παράσχου ταύτῃ
Δημήτριε, βοηθείας σου τάς θείας δωρεᾶς.

Τεῖνόν σου τό οὖς, ταῖς φωναῖς τῆς
πόλεώς σου Μάρτυς, καί σεισμοῦ καί
πάσης κακώσεως, ἀνωτέρων διαφύλαττε αὐτήν.

Δόξα Τριαδικόν.

Ὅλη ἐκ ψυχῆς, ὁμοούσιε Τριάς ἁγία,
Δημητρίου σῶζε δεήσεσι, τούς λατρεύοντας
τῷ κράτει σου πιστῶς.

www.tezaurliturgic.ro

Ρῦσαι πάσης βλάβης, τήν πόλιν σου
τρισμάκαρ, σεισμοῦ τε ὀλεθρίου.
Αἶνον ἀντί μύρου, τοῖς σοῖς Λειψάνοις
Μάρτυς, προσφέρομεν ἐν πίστει.

Γῆν σου τήν πατρῴαν, Δημήτριε μή
παύσῃ, ρυόμενος κινδύνων.
Ἵκται τῇ σῇ πόλει, θεόσδοτος ὡς πλοῦτος,
τό Λείψανόν σου Μάρτυς.

Ἆσμα καινόν ᾄδει Θεσσαλονίκη
Μάρτυς, ἐλεύσει τῆς σοροῦ σου.
Νόσων καί κινδύνων, σεισμοῦ τε
ὀλεθρίου, λύτρωσαι ἡμᾶς Μάρτυς.

Νῦν ἐν τῇ σορῷ σου, ὁρῶμέν σε ἐστῶτα,
ἐν μέσῳ τοῦ λαοῦ σου.
Ἄνωθεν μή παύσῃ, τήν σήν Θεσσαλονίκην,
ὦ Μάρτυς ἐποπτεύων.

Νεῦσον τῇ δεήσει, καί πλήρου τάς αἰτήσεις,
ἡμῶν Μεγαλομάρτυς.
Ἴθι ἀοράτως, παρέχων τῷ λαῷ σου,
βοήθειαν ταχεῖαν.

Τοῖς πόθῳ προσιοῦσι, ὦ Μάρτυς τῇ
σορῷ σου, δίδου ἀεί σήν χάριν.

Δόξα. Τριαδικόν.

Ὁμότιμε Θεότης, λιταῖς τοῦ Δημητρίου,
οἰκτειρον τόν λαόν σου.

Καί νῦν. Θεοτοκίον.

Ὑπέρ τῶν σέ ὑμνούντων, δυσώπει
Θεοτόκε, μετά τοῦ Δημητρίου.

Καί τά ἑξῆς.

Ραίνομεν τοῖς μύροις, τό θεῖον
Λείψανόν σου, ὁ σός λαός παμμάκαρ.
Ἀρώματα καί μύρα, προσφέρομεν ἐν
πίστει, τοῖς σοῖς Λειψάνοις Μάρτυς.

Ὀσμήν τήν θείαν δίδου, τοῖς ραίνουσιν
ἐν μύροις, τό Λείψανό σου Μάρτυς.
Ἐν Μύροις τε καί ὕμνοις, δεχόμεθα τήν
θείαν, σορόν σου Μυροβλύτα.

Μυρίπνοος ὤν Μάρτυς, δέχου νῦν τά
μύρα, τῶν σέ ὑμνολογούντων.
Μύρισον Μυροβλύτα, καμέ τόν σόν
ἱκέτην, τοῖς μύροις σου τοῖς θείοις.

Δίστιχον

Μυροβλύτα πρόσδεξαι δέ τούς ὕμνους
Οὕς σοι Γεράσιμος ἐξύφανεν ᾠδη.